Ἀνδρία δέ ἐστιν ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν δυσέκπληκτοί τινες περὶ φόβον, ἢ θάνατον γίνονται. οἰκεῖα δὲ αὐτῇ, εὐψυχία. λῆμα. μεγαλοψυχία. ἀρρενότης. καρτερία. μεγαλοπρέπεια. ἀνδραγαθία.

Εὐψυχία μὲν οὖν ἐστιν εὐτονία ψυχῆς πρὸς τὸ ἐπιτελεῖν τὰ ἑαυτῆς ἔργα. λῆμα δὲ, ἕξις προχείρως ἐργαζομένη ἐπιχειρεῖν δέ, οἷς χρή, καὶ ὑπομένειν ἃ λόγος αἱρεῖ. μεγαλοψυχία δέ, ἕξις ὑπεράνω ποιοῦσα τοῦ κοινοῦ συμβαίνοντας φαύλοις τε καὶ σπουδαίοις. ἀρρενότης δὲ, ἕξις, αὐτάρκη παρεχομένη ἐν τοῖς κατ' ἀρετὴν πόνοις. καρτερία δὲ, ὑπομονὴ λύπης, καὶ πόνων ἕνεκα τοῦ καλοῦ. μεγαλοπρέπεια δὲ, ἕξις ἐπαίρουσα τοὺς ἔχοντας αὐτὴν, καὶ φρονήματος πληροῦσα. ἀνδραγαθία δὲ, ἀνδρὸς ἀρετὴ, ἐπιτηδευτικὴ κοινῶν ἔργων. ἔργα δ' ἀνδραγαθίας, τὸ δυσέκπληκτον εἶναι, καὶ τὸ εὐθαρσὲς εἶναι ἐν τοῖς δεινοῖς, καὶ τὸ εὔτολμον περὶ τοὺς κινδύνους. καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς, ἢ αἰσχρῶς σώζεσθαι. καὶ τὸ νίκης αἴτιον διὰ παντὸς γίνεσθαι. παρέπεται δὲ τῇ ἀνδρίᾳ ἡ εὐτολμία, καὶ ἡ εὐψυχία. καὶ τὸ θάρσος. ἔτι δὲ, ἡ φιλοπονία, καὶ ἡ καρτερία:

περὶ σωφροσύνης.

Σωφροσύνη δέ ἐστιν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ἀνόρεκτοι γίνονται περὶ τὰς ἀπολαύσεις τῶν φαύλων ἡδονῶν. οἰκεῖαι δ' αὐτῇ, αὐστηρία. ἐγκράτεια. εὐτέλεια. λιτότης. κοσμιότης. εὐταξία. αὐτάρκεια.

Αὐστηρία μὲν οὖν ἐστιν ἕξις, καθ' ἣν τινες τοῖς προσφέρουσιν ἄλλοις τὴν τῶν ἄλλων ἡδονῶν ὁμιλίαν, ὅτε παρ' ἄλλων ταύτην προσδέχονται. ἡ ἕξις ψυχῆς μὴ ἀνεχομένη ὁμιλίᾳ φαύλων ἡδονῶν, μηδὲ λόγον. ἐγκράτεια δὲ, ἕξις ἀπήλιβυς ἐφ' ἡδονῇ. εὐτέλεια δὲ ἕξις ἀνυπέρβατος ἐν δαπάναις καὶ παρασκευαῖς. λιτότης δὲ ἕξις ἀρκουμένη τοῖς τυχοῦσι. κοσμιότης δὲ, ἐπιστήμη περὶ τὸ πρέπον, ἐν κινήσει καὶ σχήματι σώματος. ἡ εὐταξία περὶ σχῆμα καὶ κίνησιν σώματος. εὐταξία δέ, ἐμπειρία καταχωρισμοῦ πράξεων, ἢ περὶ τὰς πράξεις ἐχη τὸ βέβαιον, ἢ τοὺς καταχωρισμοὺς τῶν πράξεων. αὐτάρκεια δὲ, ἕξις ἀρκουμένη οἷς δεῖ. καὶ τὰ πρὸς τὸ ζῆν καθήκοντα ὁρίζουσα. ἔργα δὲ σωφροσύνης, τὸ μὴ θαυμάζειν τὰς ἀπολαύσεις τῶν σωματικῶν ἡδονῶν, καὶ τὸ εἶναι ἀπάσης ἀπολαυστικῆς αἰσχρᾶς ἡδονῆς ἀνόρεκτον. καὶ τὸ φοβεῖσθαι τὰ περὶ τὸν βίον ὁμοίως ἔν τε σμικροῖς καὶ μεγάλοις. παρέπεται δὲ τῇ σωφροσύνῃ, εὐκοσμία, αἰδὼς, εὐλάβεια.

περὶ ἐγκρατείας.

Ἐγκράτεια δέ ἐστιν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν κατέχειν τῷ λογισμῷ δύναται τὴν ἐπιθυμίαν, ὁρμῶσαν ἐπὶ φαύλας ἡδονάς: ἔργα δὲ αὐτῆς, τὸ δύνασθαι κατέχειν τῷ λογισμῷ τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ τὰς φαύλας ἀπολαύσεις τῶν ἡδονῶν. τὸ καρτερικὸν καὶ ὑπομενετικὸν εἶναι τῆς κατὰ φύσιν ἐνδείας τε καὶ λύπης:—

περὶ δικαιοσύνης.

Δικαιοσύνη ἐστὶν ἀρετὴ ψυχῆς, τῆς κατ' ἀξίαν διανεμητική. ἴδιον δὲ δικαιοσύνης ἐστί, τὸ ἐκεῖνα νέμειν ἑκάστῳ, ὧν αὐτῷ τὰς ἀρχὰς καὶ τὰς αἰτίας προκαταβάλλει. οἰκεῖα δὲ αὐτῇ, ἐλευθεριότης. χρηστότης. δικαστική. εὐγνωμοσύνη. εὐσέβεια. εὐχαριστία, ὁσιότης, εὐσυναλλαξία. νομοθετική.

Ἐλευθεριότης μὲν, οὖν ἐστιν ἕξις ἐν προέσει καὶ λήψει ὁμολογουμένως ἀναστρεφομένη παρεχομένη. Χρηστότης δὲ, ἕξις ἑκουσίως εὐποιητική. δικαστικὴ δὲ, ἐπιστήμη κρίσεων, καὶ κολάσεων, καὶ ἀδικημάτων. εὐγνωμοσύνη δὲ ἑκούσιος δικαιοσύνη. εὐσέβεια δὲ ἐπιστήμη θεοῦ θεραπείας. εὐχαριστία δὲ, ἐπιστήμη τίσι καὶ πότε παρεκτέον χάριν, καὶ πῶς, καὶ παρὰ τίνων ληπτέον. ὁσιότης δὲ ἐπιστήμη παρεχομένη πιστοὺς καὶ τηροῦντας τὰ πρὸς τὸ θεῖον δίκαια. ἡ ὀρθὴ ἐπιστήμη περὶ θεοῦ τιμῆς, ἡ αὐτὴ δὲ καὶ δικαιοσύνη λέγεται. εὐσυναλλαξία δὲ, ἕξις εὐ